# ΖΗΤΗΜΑ ΤΡΙΤΟΝ.

## Περὶ τῆς ὕλης, τέλους τε, καὶ ποιητικοῦ τῆς αὐξήσεως αἰτίου.

ΟΠως οὖν τὸν τῆς αὐξήσεως ὁρισμὸν πορισώμεθα, ἀνάγκη τό, τε ὑποκείμενον αὐτῆς, καὶ τὸ ποιητικὸν αἴτιον, ἔτι δὲ καὶ τὸ τέλος πρότερον διερμηνῆσαι. ἰστέον οὖν ὅτι αὐξήσεως ὕλη ἡ μὲν ἐστὶν ἐν ᾗ γίγνεται ἡ κίνησις αὕτη, ἡ δὲ περὶ ἣν τὸ αὐξανόμενον ἐστὶν ἢ ἀλλοιωτικὸν, καὶ μεταβλητικὸν αὐτῆς εἰς τὴν οἰκείαν οὐσίαν, οἷον ἡ τροφή, ἡ δὲ ἐξ ἧς προσιούσης καὶ ἑνωμένης αὔξεται τὸ αὐξανόμενον. ἔτι δὲ ἡ ὑποκειμένη τῇ αὐξήσει ὕλη, ἤτοι τὸ τῆς αὐξήσεως ὑποκείμενον, ἢ ὁλόκληρον ἐστὶν, οἷον τὸ ζῶον, ἢ τὰ μέρη τούτου καθ' ἃ τὸ ὅλον αὐξάνεσθαι λέγεται, ἡ δὲ περὶ ἣν ἐστὶ τὸ αὐξανόμενον ὕλη, ἢ καθὸ δυνάμει οἷον σὰρξ ἢ νεῦρον θεωρεῖται. καὶ κατὰ τοῦτο τρέφει μόνον, ἢ καθὸ δυνάμει σὰρξ ποσή, καὶ τουτονὶ τὸν τρόπον αὔξει. φανερὸν οὖν ἐκ τούτων ὅτι ἡ αὔξησις ἐστὶ μὲν ὡς ἐν ὑποκειμένῳ τῷ αὐξανομένῳ, περὶ δὲ τὴν τροφὴν ἢ τὸ αὐξητὸν δύναμιν ἔχει μεταβλητικὴν τροφῆς, γίγνεται δὲ ἐκ τῆς προσιούσης ὕλης, ἢ δυνάμει ποσὴ σάρξ. τοσαυταχῶς οὖν ἡ ὕλη, περὶ δὲ τοῦ ποιοῦντος οὕτω διαληπτέον. αὐξήσεως μὲν οὖν διττόν ἐστι τὸ ποιοῦν. τὸ μὲν γὰρ πρώτως καὶ κυρίως, οἷον ἐστὶν ἡ ψυχή. ὀργανικὸν δὲ τὸ ἔμφυτον θερμὸν τὸ τῆς τροφῆς πεπτικόν. τοιγάρ τοι τὸ αὐξάνειν ἴδιόν ἐστι τῆς θρεπτικῆς ψυχῆς, ἥτις τὴν τριττὴν ταύτην κεκλήρωται δύναμιν. δηλαδὴ θρεπτικήν, αὐξητικήν τε καὶ γεννητικήν. ταύτης δὲ ὄργανόν ἐστιν ἡ ἔμφυτος θερμότης, δι' ἧς ἐν μὲν τῷ στομάχῳ τὴν τῆς τροφῆς ἐργάζεται πέψιν, ἐν δὲ τῷ ἥπατι καὶ τῇ καρδίᾳ τὴν τοῦ χυλοῦ αἱματοποίησιν, ἐν δὲ τοῖς λοιποῖς μέρεσι τὴν εἰς τὰ ταῦτα μεταβολήν, καὶ ταῦτα περὶ τοῦ ποιοῦντος. Τέλος δὲ τῆς αὐξήσεως ὁ μὲν πρὸς ὃν ὅρος, οἷον τὸ τέλειον μέγεθος, ὡς πέρας, ὡς ᾧ δὲ ἐστὶ μὲν ἡ ψυχή, ὡς ἀρχὴ καὶ εἶδος. ἐπειδὴ δὲ πᾶσα δύναμις εἰς τελειότητα τοῦ οἰκείου εἴδους ἐστὶ καὶ τῆς ἀρχῆς ὅθεν ἐστίν. αὐτὸ δὲ τὸ ἔμψυχον ἅτε δὴ ἐνεργοῦν τε, καὶ τῶν ἐξ αὐτοῦ ἐνεργειῶν κυρίως αἴτιον τέλος ἔχει τὴν τελείωσιν τῶν οἰκείων ἐνεργειῶν ἔσται ὡς τὸ οὗ ἕνεκα τέλος τοῦ ἐμψύχου ἡ τῶν ἐνεργειῶν τελειότης, καὶ γὰρ αὔξεται τὸ ἔμψυχον ἵνα τελείως ἔχῃ τὰς ἐνεργείας αὐ-

τοῦ

ΙΩΑΝΝΙΝΑ 2006

τοῦ προβάλλειν, τούτων οὖν οὔπω διακεκινηθέντων ὀρθῶς ἂν ἔχοιμεν συνάξαι τὸν τῆς αὐξήσεως ὁρισμὸν, ὅτι ἐστὶ κίνησις καθ᾽ ἣν ἐξ ἀπλοῦς μεγέθους εἰς τέλειον ἐπιδίδωσι τὸ ζῶον προσιούσης ὕλης τινὸς ἔξωθεν ἀνομοίου μὲν τὴν ἀρχὴν, μεταβαλλούσης δὲ εἰς τὸ ὅμοιον διὰ τῆς ἐμφύτου θερμότητος ὑπὸ τῆς ψυχῆς ὅπως ἂν προσηκόντως ἐργάζηται τὰς κατὰ φύσιν ἐνεργείας.

# ΖΗΤΗΜΑ ΤΕΤΑΡΤΟΝ.

## Πότερον ἡ αὔξησις συνεχής ἐστι.

Ἐπειδὴ κίνησις εἰς τὸ ποσὸν ἡ αὔξησις εἴρηται. εὐλόγως ζητεῖται πότερόν ἐστι συνεχὴς, ἢ οὔ; καὶ γὰρ πᾶσαν ἁπλῶς κίνησιν συνεχῆ πεφυκέναι ἐκ τοῦ τῆς κινήσεως ὁρισμοῦ συνάγεσθαι φανερὸν οἱ πλείους πρεσβεύουσι, τὴν δὲ τῆς αὐξήσεως συνέχειαν ἀμφισβητήσιμον ἡμῖν ἀπεργάζεται ταῦτα. Πρῶτον μὲν ὀγδόῳ Φυσικῶν, μορίῳ κγ΄. κατὰ ῥῆμα ταῦτα φησὶν ὁ Φιλόσοφος, οὔτε γὰρ αὐξάνεσθαι οὔτε φθίνειν οἷόν τε συνεχῶς, ἀλλ᾽ ἔστι καὶ τὸ μέσον. Δεύτερον, κυρίως αὐξάνεται τὰ ζῶα. τούτων δὲ τὰ μέρη οὐκ εἰσὶ συνεχῆ, ἄρα οὐδὲ ἡ κυρίως αὔξησις. φανερὰ δὲ ἡ ἐλάττων; καὶ γὰρ τὰ ἀνομοιομερῆ οὐδέ τις ἂν εἴποι συνεχῆ, ἀλλὰ μᾶλλον ἀλλήλων ἐχόμενα. Τρίτον, ἀεὶ τῆς αὐξήσεως ἡγεῖται θρέψις, ἔστι δὲ αὕτη ἐν ἀκαρεῖ, ἀλλ᾽ οὐκ ἐν χρόνῳ, καὶ ἡ αὔξησις ἄρα. ἔτι δὲ τοῦ συνεχοῦς οὐκ ἔστι τὶ πρῶτον, τοῦτο γὰρ ἐπ᾽ ἄπειρον διαιρετὸν, ὥστε ἔσται τι τοῦ πρώτου πρότερον. ἀλλὰ μὴν τῆς αὐξήσεως ἔστι τι πρῶτον καθὸ ἄρχεται εἶναι, οὐκ ἔστιν ἄρα συνεχής. τελευταῖον εἰ δ᾽ ἂν ἡ κίνησις δοκῇ πᾶσα συνεχὴς, ἄρα οὐδὲ ἡ αὔξησις. δείκνυται δὲ τὸ ἡγούμενον, τούτων ὑποτεθέντων. πρῶτον ὅτι τῶν ἐνύλων εἰδῶν ὅροι εἰσὶ τοῦ τε μεγέθους καὶ τῆς σμικρότητος, ὧν οὔτε μείζω, οὔτε ἐλάττω ἐνδέχεται ταῦτα γενέσθαι ὡς ἐκ τοῦ πρώτου τῶν Φυσικῶν ἐκ τῶν κατ᾽ Ἀναξαγόρου συνῆκται. δεύτερον, ὅτι πᾶσα κίνησις γένεσίς τίς ἐστιν, ἢ ἁπλῶς: τρίτον οὐ δύναται γενέσθαι τοῦ ἐλαχίστου ἔλαττον. τέταρτον, ὅτι τὰ ἐλάχιστα ἐν ἀκαρεῖ προσγίνεται; εἰ γὰρ ἐν χρόνῳ, οὐκ ἂν ἀδιαίρετα εἴη, ἀλλὰ δοθείη τοῦ ἐλαχίστου ἔλαττον. πέμπτον ὅτι τὰ ἀδιαίρετα οὐκ ἐνδέχεται συνάπτεσθαι κοινῷ τινι ὅρῳ. ἐκ τούτων οὖν οὕτως ἐπιχειρεῖν ἔξεστι. τὰ ἐν ἀκαρεῖ καὶ κατ᾽ ἐλάχιστον προσγινόμενα οὐ συνεχῶς προσλαμβάνονται. ἀλλὰ μὴν πᾶν κατ᾽ εἶδος ἐλάχιστον γίνεται:, ἄρα οὐδὲν εἶδος συνεχῶς

προσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Τ.Σ.Π. ΙΩΑΝΝΙΝΑ 2006

προσλαμβάνεται. εἰ δέ τις φαίη, ὅτι δείκνυται μὲν ἐκ τούτου ὅτι τὸ πρῶτον τῶν εἰδῶν μέρος κατ᾽ ἐλάχιστον καὶ ἐν ἀκαρεῖ γίγνεται, οὐ μὴν ἐκ τούτου συνάγεται καὶ τὰ ἑξῆς μέρη μὴ συνεχῶς προσλαμβάνεσθαι. (εἰ γὰρ καὶ οὐ δυνατόν ἐστι τοῦ ἐλαχίστου γενέσθαι ἔλαττον, ὥστε ἐνεργείᾳ τοῦτο δίχῃ διαιρεθῆναι, ἔστι μὲν ὅμως ἐν τῷ συνεχεῖ δυνάμει τοῦ ἐλαχίστου ἔλαττον) οὐδὲν αὖ παραβλάψοι τὸν ἀντιφερόμενον λόγον. καὶ γὰρ ἕκτῳ Φυσικῶν δείκνυται ἥκιστα τῷ συνεχεῖ πρῶτον μέρος ἁρμόζειν, καὶ μὴ συνεχὲς εἶναι δηλοῦται σαφῶς, ᾧ ἐστι πρῶτον μέρος. ἔτι δὲ ἡ θρέψις οὐκ ἔστι συνεχὴς ἐν ἀντιφάσει οὖσα, οὐκ ἔστιν ἄρα καθ᾽ ἑαυτὴν ἡ κίνησις συνεχής, ὁμοίως οὔτε ἡ αὔξησις ἐστὶ συνεχής, ἣν ὁ Ἀβερρόης φησὶ κατ᾽ ἐλάχιστον οὐσιῶδες μέρος γίγνεσθαι, καὶ ἐν ἀκαρεῖ, ὡς γὰρ ὁ Φιλόσοφος ὀγδόῳ Φυσικῆς Ἀκροάσεως, μορίῳ κγ. ἐπὶ τῶν σταλαγμῶν, οὐκ εἰ ποσόνδε ἐξέωσεν, ἢ ἀφεῖλεν ὁ σταλαγμός, καὶ τὸ ἥμισυ ἐν ἡμίσει χρόνῳ πρότερον. ὡσαύτως καὶ ἐπὶ ἀλλοιώσεως δείκνυται, ὅτι μὴ συνεχής. ἀθρόαν γάρ φησι ταύτην γενέσθαι, ὥσπερ τὴν πῆξιν ἐν τῷ αὐτῷ μορίῳ. ὥστε φανερὸν δι᾽ ὧν τε μὴ πᾶσα κίνησις συνεχὴς εἶναι δείκνυται, καὶ δι᾽ ὧν ἀνωτέρω ἰδίως ἡ αὔξησις μὴ κατὰ διαδοχὴν ἀδιακόπως προσγίνεσθαι δεδήλωται, ἐν ἀκαρεῖ καὶ κατ᾽ ἐλάχιστον ἀδιαίρετον τὴν εἰς μέγεθος μεταβολὴν περαιοῦσθαι, ἀλλ᾽ ὅμως τοῖς εἰρημένοις μάχεται πολλά, μάλιστα δὲ τὸ συμβαίνειν ἐπὶ αὐξήσεως τὸ αὐξάνεσθαι ταὐτὸν εἶναι τῷ ηὐξημένον εἶναι. εἰ δὲ τοῦτο οὐκ ἄτοπον, οὐδ᾽ ὀρθῶς αὖ ὁ Φιλόσοφος, ἐν τῷ ἕκτῳ τῆς Φυσικῆς Ἀκροάσεως, τεμμαχίῳ ζ'. διατελεῖν ἀνάγκην εἶναι διδάσκει, τὸ Θήβαζε βαδίζειν καὶ βεβαδικέναι, καὶ κινεῖσθαι καὶ κεκινῆσθαι. ἔτι δὲ ἐπταικέναι τὸν Φιλόσοφον, δεδειχὼς γὰρ ἐν τῇ ϛ'. περικοπῇ, ὅτι καὶ ἐν τοῖς μεγέθεσιν ἀνάγκη διαίρεσιν εἶναι, ἵνα μὴ ἀμερὲς ἀμεροῦς ἐχόμενον ᾖ συνάγει, ὁμοίως δὲ καὶ ἐπὶ τῆς τοῦ ποσοῦ μεταβολῆς, καὶ γὰρ αὕτη ἐν συνεχεῖ ἐστιν, ὡσαύτως συμβήσεται μὴ πᾶσαν κίνησιν ἐξ ἐναντίου εἰς ἐναντίον εἶναι, ἡ γὰρ ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβολὴ συνεχής ἐστιν, οὑτωσὶ διδάσκοντος τοῦ Φιλοσόφου, καὶ τὴν γένεσιν διακρίναντος τῶν κινήσεων, ὅτι ἐξ ὅρου ἐστὶ κατὰ ἀντίφασιν ἀντικειμένου. τοιγάρτοι τοσαύτης οὔσης ἀμφισβητήσεως ἐξεταστικώτερον εἰκός ἐστι διαβασανίσαι τὴν Θεωρίαν. διασαφητέον δὲ πρῶτον τοὺς ὅρους, ἵνα μὴ ἐκ τῆς τούτων ὁμωνυμίας εἰς ἄτοπα περιτραπῶμεν. συνεχὲς οὖν ἐνταῦθα φαμὲν οὐ τὸ ἀΐδιον, καθάπερ ὁ Φιλόσοφος ἐχρήσατο ἐν τῷ ὀγδόῳ τῶν Φυσικῶν, μορίῳ νδ. τὴν πρώτην κίνησιν συνεχῆ λέγων, τουτέστι τὴν ἀΐδιον, ἀλλ᾽ οὐδὲ συνεχὲς λέγομεν τὸ διὰ πλείονος χρόνου κατὰ τὴν αἴσθησιν συνεχῶς γενέσθαι φαινόμενον καθ᾽ ὃν τρόπον, δι᾽ ἐτῶν



Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

εἴκοσι ηὐξῆσθαι λέγεται ὁ ἄνθρωπος, ἀλλὰ συνεχὲς εἶναι βουλόμεθα οὗ τὰ
μέρη κοινῷ τινι ὅρῳ συνδεῖται, τὴν τοιαύτην οὖν συνέχειαν εἰδῶμεν. πό-
τερον ἐστὶν εὑρεῖν ἐπὶ πάσης κινήσεως; δεδειγμένη γὰρ οὕτως ἔχειν τοῦ
καθόλου, ταύτῃ ποῦ καὶ τὰ ὑφ' αὐτὸ ἔχειν ἀνάγκη, τῶν κατὰ τοῦ καθόλου
ἀψευδῶς κατὰ τῶν ὑφ' αὐτὸ λεγομένων. φανερὸν οὖν οἶμαι ἐκ τοῦ τῆς κι-
νήσεως ὁρισμοῦ πᾶσαν εἶναι συνεχῆ τὴν κίνησιν, καὶ γὰρ διὰ τοῦτο
ἀτελὴς ἐντελέχεια ἡ κίνησις λέγεται ἤδη βαδίζουσα πρὸς τὸ τέλειον.
τοῦτο δὲ ἀδύνατον εἴη μὴ κατὰ διαδοχὴν ἀκολούθως καὶ ἀδιακόπως γι-
νομένης τῆς κινήσεως ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον. μᾶλλον δὲ ἐπειδὴ τοῦ
δυνάμει ὄντος ἐντελέχεια ἡ κίνησις, ἀνάγκη τὸ κινούμενον πῇ μὲν ἐν
τῷ ἐξ οὗ ὅρῳ, πῇ δὲ ἐν τῷ πρὸς ὃν εἶναι, καὶ κατά τι μὲν κινεῖσθαι
κατὰ τὶ δὲ κεκινεῖσθαι, τοῦτο δὲ σαφῶς ἡμῖν ἐκφαίνει διαίρεσιν, διά τοι
τοῦτο προσδέχεται Ἀλεξάνδρῳ, καὶ Θεοφράστῳ καὶ Σιμπλικίῳ, καὶ τοῖς λοιποῖς
Ἕλλησιν, ἐκ τοῦ δοθέντος ὁρισμοῦ τῆς κινήσεως ἡ ταύτης συνῆκται συνέ-
χεια. τοῦτο δὲ αὐτὸ καὶ ὁ Φιλόσοφος καθαρῶς ἐν πολλοῖς ἀνεπτύξατο,
ἐν γὰρ τετάρτῳ Φυσικῶν δεικνὺς πᾶσαν κίνησιν χρόνῳ μετρεῖσθαι, μο-
„ ρίῳ ρλβ. ταῦτα φησίν, Ἀπορήσειε δ' ἄν τις καὶ ποίας κινήσεως ὁ
„ χρόνος ἀριθμός; ἢ ὁποιασοῦν, καὶ γὰρ γίνεται ἐν χρόνῳ, καὶ φθεί-
„ ρεται, καὶ αὐξάνεται, καὶ ἀλλοιοῦται ἐν χρόνῳ, καὶ φέρεται, ᾗ οὖν
„ κίνησίς ἐστι, ταύτῃ ἐστὶν ἑκάστης κινήσεως ἀριθμός, διὸ κινήσεως ἁ-
„ πλῶς ἀριθμὸς ἐστὶ συνεχοῦς, ἀλλ' οὐ τινός. ἐν ἀρχῇ δὲ τοῦ πέμπτου
τῶν Φυσικῶν, ἁπλῶς ἐπὶ πάσης κινήσεως ἐγκρίνει χρόνον, τοῦτο δὲ με-
τὰ προθέσεως ἕκτῳ Φυσικῶν δεικνύων τὴν κίνησιν κοινότητος εἰλημμέ-
νην πᾶσαν εἶναι συνεχῆ βεβαιοῖ. καὶ ἐν τῇ νη. περικοπῇ, καὶ ἐν
ἀντιφάσει τὰ αὐτὰ ἐρεῖ, καὶ τὸ μεταβάλλον μεταβεβληκέναι φησὶ, καὶ τὸ
μεταβεβληκὸς μεταβάλλειν. Ἔτι δὲ ἑβδόμῳ φυσικῶν, μορίῳ λϛ'. καὶ
„ εἰ ἡ αὐτή φησι δύναμις τὸ αὐτὸ ἐντωδὶ τῷ χρόνῳ τὴν τοσήνδε κι-
„ νεῖ, καὶ τὴν ἡμίσειαν ἐν τῷ ἡμίσει, καὶ ἡ ἡμίσεια ἰσχὺς τὸ ὑμίσυ
„ κινήσει ἐν τῷ ἴσῳ χρόνῳ τὸ ἴσον. ὁμοίως ἐν ἀρχῇ τοῦ τρίτου δοκεῖ
φησιν ἡ κίνησις τῶν συνεχῶν εἶναι, διὸ καὶ περὶ συνεχοῦς τὸν λόγον
προβάλλεται, πέμπτῳ δὲ τῶν μετὰ τὰ Φυσικὰ, μορίῳ ιη. τὴν κίνη-
σιν ὑπὸ τὸ συνεχὲς ἀνάγει ποσὸν, ὃ καὶ σαφέστερον δευτέρῳ περὶ Γε-
„ νέσεως καὶ Φθορᾶς, μορίῳ ξβ'. προφέρει. Συνεχὴς δὴ κίνησίς φησι
„ πότερον τῷ τὸ κινούμενον συνεχὲς εἶναι, ἢ τὸ ἐν ᾧ κινεῖται, οἷον τὸν
„ τόπον λέγω, ἢ τὸ πάθος; δῆλον δὲ ὅτι τῷ τὸ κινούμενον, πῶς γὰρ
„ τὸ πάθος συνεχὲς, ἀλλ' ἢ τῷ τὸ πρᾶγμα ᾧ συμβέβηκε συνεχὲς
εἶναι. συμφωνεῖ δὲ τοῖς ὑπὸ Ἀριστοτέλους λεγομένοις πάντως ὁ Σιμπλί-
κιος συνεχῆ πᾶσαν τιθέμενος μεταβολὴν, καὶ χρόνῳ ἀριθμουμένην, καὶ

πρώ-

ΙΩΑΝΝΙΝΑ 2006

πρώτῳ μὲν φυσικῶν κγ'. περικοπῇ τῇ τοῦ Θεοφράστου μαρτυρίᾳ συνίστησι. ὀγδόῳ δὲ Φυσικῶν κγ'. τοῖς τοῦ Ἀλεξάνδρου λόγοις ἐμπεδοῖ. ὁμοίως δὲ καὶ ἕκτῳ Φυσικῶν λβ'. δείκνυσι δὲ οὐ μόνον ἐκ τοῦ ἐντελέχειαν ἀτελῆ τὴν κίνησιν εἶναι βαίνουσαν ἐπὶ τὸ τέλειον, ἀλλὰ καὶ ὅτι μεταβολὴ λέγεται ὃ τὸ μετὰ ἄλλο ἄλλο σημαίνει, ὥστε ἀδύνατον εἶναι τὴν ἐν ἀκαρεῖ μεταβολὴν εἰκότως ἐπιτυχεῖν τῆς τοιαύτης προσηγορίας. ἐμπεδοῦται δὲ ἡ ῥηθεῖσα θέσις καὶ λόγοις τοιούτοις. καὶ γὰρ ἡ κίνησις ἐκ τοῦ πρὸς ὃν ὅρου τὴν διαφορὰν ἔσχηκε καὶ τὴν ἑαυτῆς σύστασιν, καὶ τοῦτο τοῖς σοφωτέροις εἴρηται διαφέρειν ἀτελείᾳ μόνον. ἀλλὰ μὴν πάσης κινήσεως ὁ πρὸς ὃν συνεχής ἐστιν, ἄρα καὶ ἡ πρὸς τόνδε κίνησις. ὅτι δὲ ποσότης τε καὶ ποιότης καὶ τόπος τῶν συνεχῶν, οὐδεὶς ἂν ἀμφιβάλλοι. τούτων γὰρ τοῖς μὲν τὸ μᾶλλον, καὶ ἧττον, τοῖς δὲ τὸ πλεῖον καὶ ἔλαττον ἀλλεπαλλήλως ἁρμόζει, ὥστε μὴ ἐνδέχεσθαι ἅμα καὶ καθάπαξ προσληφθῆναι. ὅτι δὲ καὶ τὰ οὐσιώδη εἴδη συνέχειαν ἔχει. καὶ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται, πολλοῖς μὲν περὶ πάντων ἁπλῶς ὁμολογεῖται, ἡμῖν δὲ δέδεικται περὶ πλειόνων. δεύτερον ἔσχατα πέρατα κινήσεώς εἰσι τὰ σημεῖα, καὶ τὸ μεταβεβληκὸς εἶναι, ἄρα ἡ κίνησις συνεχὴς ἔσται. καὶ γὰρ ἀδύνατον τὸ μὴ συνεχὲς πέρασιν ἀδιαιρέτοις ὁρίζεσθαι. τὸ γὰρ μὴ συνεχὲς ἀδιαίρετον ἢ τὸ δὲ ἀδιαίρετον σημείοις οὐ πέφυκε περατοῦσθαι. τρίτον πάσης κινήσεως οἷα δὴ συμβεβηκότος, σῶμα Φυσικόν ἐστι τὸ ὑποκείμενον, πᾶν δὲ σῶμα φυσικὸν συνεχές, ἄρα καὶ ἡ ἐν αὐτῷ κίνησις. ὅθεν εἰκότως ὁ Φιλόσοφος, ξβ'. μορίῳ τοῦ δευτέρου περὶ Γενέσεως καὶ Φθορᾶς, τὴν συνέχειαν ἐκ τοῦ ὑποκειμένου τῇ κινήσει προσάπτει. τελευταῖον ἔνθα ἐναντίωσίς ἐστιν, ἀντέρεισίς τε, καὶ ποιοῦντος ἐνέργεια ἐν χρόνῳ προϊοῦσα, καὶ λαμβανομένη παρὰ τοῦ πάσχοντος ἀναγκαῖον εἶναι συνέχειαν καὶ χρόνον. ἔστι δὲ τὰ ῥηθέντα ἐπὶ πάσης ἁπλῶς κινήσεως εὑρεῖν, ἔστιν ἄρα πᾶσα κίνησις συνεχής. ὅθεν συνάξαι δυνάμεθα μὴ τῶν ἀδιαιρέτων εἶναι τὴν κίνησιν, ἀλλὰ συνεχῆ τε καὶ διαιρετήν. Περιφρονοῦνται δὲ τοῖς μὴ πᾶσαν κίνησιν συνεχῆ ἁπλῶς τιθεμένοις χρυσοφύλακτον παρὰ τῶν ἀνωτέρω λεγομένων, καὶ γὰρ διαιροῦντες τὴν κίνησιν, εἴτε Μαθηματικῶς θεωρουμένην, καὶ ἐν τῷ νοεῖσθαι τὴν ὕπαρξιν ἔχουσαν, εἴτε φυσικῶς καὶ ὡς ἐν ὑποκειμένῳ ὑφεστηκυῖαν, τὴν μὲν φασιν ἐξ ἐλαχίστων ἀδιαιρέτων συνεστάναι, τὴν δὲ διαιρετὴν ἐπ' ἄπειρον εἶναι. δοκεῖ μὲν οὖν ἡ τοιαύτη δόξα ἔχεσθαι τῆς ἀληθείας. καθὸ τοῦ μεγέθους ἐν τοῖς Φυσικοῖς ὅρους ἀποδέχεται. τοῦτο γὰρ καὶ ὁ Φιλόσοφος πολλαχοῦ τῶν αὐτοῦ λόγων πρεσβεύει. καὶ πρώτῳ μὲν Φυσικῶν, μορίῳ λϛ'. Ἔτι δὲ
„ φησὶν εἰ ἀνάγκη οὐ τὸ μόριον ἐνδέχεται ὁπηλικονοῦν εἶναι κατὰ μέ-
„ γεθος καὶ σμικρότητα, καὶ αὐτὸ ἐνδέχεσθαι, λέγω δὲ τῶν τοιούτων τι



Ε. Δ. της Κ.Τ.Η. ΙΩΑΝΝΙΝΑ 2006

,, μόριον εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον. εἰ δὴ ἀδύνατον ζῶον ἢ ,, φυτὸν ὁπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ σμικρότητα φανερὸν, ὅτι οὐδὲ ,, τῶν μορίων ὁτιοῦν, ἔσαι γὰρ καὶ τὸ ὅλον ὁμοίως, σὰρξ δὲ καὶ ὀςοῦν καὶ ,, τὰ τοιαῦτα μόρια ζώου, καὶ οἱ καρποὶ τῶν φυτῶν, δῆλον τοίνυν ὅτι ,, ἀδύνατον σάρκα, ἢ ὀςοῦν, ἢ ἄλλοτι ὁπηλικονοῦν εἶναι τὸ μέγεθος, ἢ ,, ἐπὶ τὸ μεῖζον ἢ ἐπὶ τὸ ἔλαττον. δευτέρῳ δὲ περὶ ψυχῆς, μορίῳ ,, μα. τῶν δὲ φύσει συνεςώτων πέρας ἐςί φησι καὶ λόγος μεγέθους καὶ ,, αὐξήσεως. τετάρτῳ δὲ περὶ Γενέσεως ζώων κεφ. δ'. τούτου δὲ αἴτιόν ,, φησιν, ὅτι τῷ μεγέθει ὡς ἐπὶ τὸ πολὺ διώρισαι κατὰ τὰς διαφορὰς ,, αὐτῶν, καὶ κατωτέρω, ἀλλ' ὥσπερ καὶ τελειουμένων τῶν ζώων ἐςὶν ἑκά-', ςου τὸ μέγεθος καὶ ἐπὶ τὸ μεῖζον, καὶ ἐπὶ τὸ ἔλαττον, ὧν οὔτ' ἂν μεῖ-', ζον γένοιτο, οὔτ' αὖ ἔλαττον, ἀλλ' ἐν τῷ μεταξὺ διαςήματι τοῦ μεγέ-,, θους λαμβάνουσι τὴν πρὸς ἄλληλα ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, καὶ ,, γίγνεται μείζων, ὁ δὲ ἐλάττων ἄνθρωπος, καὶ τῶν ἄλλων ὁτιοῦν γέ-νος. ἐξ ὧν φανερόν ἐςιν ὅτι παντὸς φύσιν ἔχοντος, εἴτε ὅλον εἴη, εἴτε μόριον ὅροι εἰσὶ τοῦ μεγέθους αὐτοῦ καὶ σμικρότητος, ὧν οὔτε ἔλαττον οὔτε μεῖζον εἶναι δύναται, ὡς καὶ ὁ λόγος ἐπιβεβαιοῖ, τὰ γὰρ συνεςῶτα φύσει διὰ κινήσεως γίγνεται, πᾶσα δὲ κίνησις καὶ κατὰ μέγεθος ὡ-ρισμένον ἔχει τὸν πρὸς ἓν ὅρον. ἔτι δὲ ἕκαςον ἕνεκα τῆς αὐτοῦ ἐνερ-γείας ὑπάρχει, ὡρισμέναι δὲ αἱ ἐνέργειαι πάντων εἰσὶν, ὥςε καὶ τὰ μεγέθη, καὶ ἡμεῖς τοίνυν ἐν τοῖς Φυσικοῖς σώμασι τοὺς τοιούτους ὅρους ἀποδεχόμεθα, καί τοι μὴ ὁμοίως ἐπὶ πάντων, ὡς ἀλλαχοῦ δέδεικται. οὐ μὴν δὲ διὰ τὴν αἰτίαν ταύτην συνεχῆ εἶναι τὴν κίνησιν ἀποφαίνομεν, καὶ γὰρ ὁ τῆς κινήσεως ὁρισμὸς ἐκ Φυσικῶν ἀρχῶν ἐςὶ, καὶ πάσῃ φυ-σικῇ κινήσει προσαρμόζει. ἐκ τούτου δὲ ἡ τῆς κινήσεως συνέχεια σαφῶς ἀνωτέρω συνῆπται. ἔπειτα πῶς αὖ οἱ Μαθηματικοὶ συνεχῆ φαῖεν τὴν κίνησιν μὴ καταψευδόμενοι τῶν πραγμάτων, εἰ οὐκ ἔςιν ἐν τῇ φύ-σει τῶν ὄντων συνεχής; εἰ δέ τις ἐνςαίη ὅτι καὶ τὰ σώματα ἐπ' ἄπει-ρον διαιρετὰ τιθέασιν οἱ Μαθηματικοὶ καὶ ταῦτα μηδαμῶς ἐπ' ἄπει-ρον δυναμένων διαιρεῖσθαι τῶν φύσιν ἐχόντων. ἐπιςησάτω ὅτι καὶ τὰ φυσικὰ σώματα ᾗ μέγεθος ἔχουσι διαιρετά εἰσιν ἐπ' ἄπειρον, καί τοι μὴ διὰ τὸ εἶδος αὐτῶν διατέμνοιτο, ἡ γὰρ εἰδικὴ φύσις ὡρισμένον ἀ-παιτεῖ μέγεθος, ὥςε μὴ σώζεσθαι τούτου διαθρυπτομένου. οὐδὲν οὖν ἧτ-τον ἔῤῥωται ἡ τῆς κινήσεως συνέχεια ἐκ τῆς οἰκείας φύσεως, ἀλλ' οὐκ ἐκ τῆς Μαθηματικῆς σκέψεως αὐτῇ προσήκουσα. εἰ δὲ καὶ τοὐναντίον ὁ Φιλόσοφος ἔοικε διδάσκειν ὀγδόῳ Φυσικῶν, μορίῳ κγ. οὐκ εἰκός ἐςιν ἐντεῦθεν ἀντιλογίας ἀτόπου τύπου κατηγορεῖν ὡς ἀντιφθεγγομένου τοῖς ἐν τῷ ἕκτῳ τοῖς Φυσικῆς Ἀκροάσεως παρ' αὐτοῦ λεγομένοις, ἀλ-



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λα χρεὼν ἐστὶν ἐκ τοῦ σκοποῦ τῆς δείξεως τὴν φαινομένην ἐν αὐτῷ διαφωνίαν ἀποσκεδάσαι. προὐβέβλητο τοίνυν ὁ λόγος τῷ Φιλοσόφῳ κατὰ τῶν ἀναιρούντων τὴν στάσιν καὶ ἠρέμησιν, καὶ ἀδιακόπως κινεῖσθαι πάντα διϊσχυριζομένων, καθ' ὧν ὁ Σταγειρίτης τὰ τῆς κινήσεως ἀπαριθμῶν εἴδη δείκνυσιν, ὅτι οὔτε αὔξησις, οὔτε ἀλλοίωσις συνεχεῖς εἰσιν ἀϊδίως, ἀλλὰ πέρατα ἔχουσι, καὶ ἠρεμήσει διαλαμβάνονται, ἵνα δὲ καθαρώτερον ἡ τοιαύτη ἀλήθεια φαίνηται, δεῖ πρῶτον εἰδέναι ὅτι πλειόνων οὐσῶν τῶν κινήσεων ἡ ἀλλοίωσις καὶ ἡ φορὰ ἁπλαῖ εἰσι μᾶλλον, καὶ χωρὶς τῶν ἄλλων ἐνδέχονται γίνεσθαι. ἡ δὲ γένεσις καὶ ἡ φθορὰ ἐξ ἀνάγκης συμπεπλέχθαι δοκοῦσι ταῖς λοιπαῖς κινήσεσι, μάλιστα δὲ ὡς ἔοικεν ἡ αὔξησις καὶ μείωσις. Δεύτερον ὅτι ταῖς κινήσεσιν ἡ συνέχεια οὐκ ἐν τῷ γενέσθαι προσήκει, ἀλλ' ὁπηνίκα γίγνηται. εἰς βαθυτέραν ὅμως τῶν λεγομένων κατάληψιν ζητῆσαι δεῖ τὰ αἴτια τῆς ἐν τῇ κινήσει συνεχείας. εἰσὶ δὲ τὰ μὲν φύσει αὐτῆς ἐνδοθέν, οἷόν ἐστι τὸ ὑποκείμενον, καὶ ὁ πρὸς ὃν ὅρος. τὰ δὲ παρακολουθοῦντα οἷον ἐστὶν ἡ τοῦ πάσχοντος ἀντέρεισις, καὶ ἡ τοῦ ἐν αὐτῷ εἴδους ἀποβολή. ὅ,τε τόπος καὶ ὁ χρόνος, πρῶτον οὖν αἴτιον ἐστὶ τοῦ συνεχῆ τὴν κίνησιν εἶναι τὸ ὑποκείμενον, καὶ γὰρ ὡς ἐλέγετο κατὰ τὸν Φιλόσοφον συνεχής ἐστιν ἡ κίνησις τῷ τὸ πρᾶγμα ᾧ συμβέβηκε συνεχὲς εἶναι, καὶ τετάρτῳ τῶν Φυσικῶν, μορίῳ υθ'. ἐπειδὴ δὲ φύσει τὸ κινούμενον ἔκ τινος εἴς τι, καὶ πᾶν μέγεθος ἐστὶ συνεχές· καὶ ἡ κίνησις ἐστὶ συνεχής, διὰ δὲ τὴν κίνησιν καὶ ὁ χρόνος, ὅση γὰρ ἡ κίνησις τοσοῦτος καὶ ὁ χρόνος ἀεὶ δοκεῖ γεγονέναι, τότε δὴ πρότερον καὶ ὕστερον ἐν τόπῳ πρῶτον ἐστίν. ἐξ ὧν ὁ Φιλόσοφος ἀποφαίνεται συνεχῆ τὴν κίνησιν εἶναι διὰ τὸ τὸ ἐν ᾧ ἐστιν, ἐπειδὴ δὲ ἡ ἐν τῇ κινήσει συνέχεια διττή, ἥτε κατὰ τὴν τοῦ κινουμένου ἔκτασιν, καὶ ἡ κατὰ διαδοχήν, ταύτην φησὶ γίγνεσθαι κατὰ τὸ ἐν τῷ τόπῳ πρότερον καὶ ὕστερον, καὶ γὰρ ἡ κατὰ διαδοχὴν ἐν τῇ κινήσει συνέχεια ἀπὸ τοῦ ἐν τῷ προσγινομένῳ εἴδει πρότερον καὶ ὕστερον ἀναφαίνεται, τῷ ὄντι γὰρ ἡ τοῦ ὑποκειμένου συνέχεια οὐχ ὡς τὸ εἶδος εἰς τὴν τῆς κινήσεως συμβάλλεται διαδοχήν, καὶ γὰρ ἐνδέχεται τὸ συνεχὲς σῶμα καθ' ὁτιοῦν μέρος αὐτοῦ ἐν ἴσῳ διαστήματι πλήσιον γινόμενον τοῦ ποιοῦντος ἅμα κινεῖσθαι ὡς ἐν τῷ ὀγδόῳ λέγεται τῶν Φυσικῶν, μορίῳ κγ'. μᾶλλον τοιγαροῦν ἀπὸ τοῦ πρὸς ὃν ὅρου ἡ τῆς κινήσεως ληφθείη συνέχεια, εἰ γὰρ τοῦτο τὸ μᾶλλον ἐπιδέχεται καὶ ἧττον, ἐξ ἀνάγκης κατὰ τὸ πρότερον καὶ ὕστερον ποσίζεται, ὡς φανερόν ἐστιν ἐν τῇ κατὰ τόπον μεταβολῇ, ὅθεν καὶ ὁ Φιλόσοφος ἐν τῷ τόπῳ, ἔστι φησὶ πρῶτον τὸ πρότερον καὶ ὕστερον, εἶτα δὲ ἐν τῇ κινήσει, καὶ διὰ ταύτην ἐν τῷ χρόνῳ διὰ τὸ ἀκολουθεῖν ἀεὶ θατέρῳ θάτερον αὐτῶν. ἀλλ' ἐπειδὴ μὴ



Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

ὄντος ἐναντίου συμβαίνει μὴ οὔσης ἀντερείσεως προσιέναι τι εἶδος ὡς τὸ φῶς, ὥστε εἰ τὸ ὑποκείμενον παρεσκευασμένον ἐστὶ καὶ εἰς ὑποδοχὴν ἑτοιμότατον, κἀν τοῖς Φυσικοῖς συμβαίνει πολλὰ ἀθρόως γίνεσθαι. διά τοι τοῦτο εἰς τὴν τῆς κινήσεως συνέχειαν ἀναγκαία ἐστὶν ἡ ἀντέρεισις, ἥτις ἢ τοῦ μέσου ἐστὶ, ἢ τοῦ πάσχοντος, ὅθεν καὶ Ἀβερρόης ἐν τοῖς Φυσικοῖς συνεχῆ τὴν κίνησιν λέγει, ἢ ὅτι τῷ κινοῦντι ἀνθίσταται τὸ κινούμενον, ἢ ὅτι τὸ μέσον πῇ μὲν ἀντερείδει τῷ κινοῦντι, πῇ δὲ τῷ πάσχοντι, καὶ ἀλλαχοῦ τὴν ἀντέρεισιν χρόνῳ καθυποβάλλειν τὴν κίνησιν. εἰ δέ τις ἐκ τῶν εἰρημένων ἀπορήσειεν, ὅτι ἐπειδὴ συνεχὴς ἡ κίνησις ἔχει ἄρα τί πρῶτον ἀδιαίρετον καθὸ ἄρχεται, ἢ οὐχί; ἀλλὰ τὸ πρῶτον ἐν τῇ κινήσει ἢ κατὰ τὴν αἴσθησίν ἐστιν, ἢ τῷ λόγῳ, κατὰ μὲν οὖν τὴν αἴσθησιν δίδοται, ἥκιστα δὲ τῷ λόγῳ. Ἔτι δὲ πρῶτον μὲν ἐνεργείᾳ ἐστὶ καὶ ἐλάχιστον, οὐ μήν γε δυνάμει, τὸ γὰρ ἐλάχιστον ἐνεργείᾳ ἐνδέχεται δυνάμει διαιρετὸν εἶναι, ὅθεν καὶ ὁ Φιλόσοφος φανερὸν οὖν φησιν ὡς οὐκ ἀναγκαῖον ἀεί τι ἀπιέναι, ὅτι διαιρεῖται ἡ φθίσις εἰς ἄπειρα, ἀλλ' ὅλον ποτὲ ἀπιέναι, καὶ πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς συγχωρεῖ τὸ κατὰ τὴν αἴσθησιν ἀδιαίρετον, ἐν δὲ τῷ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ, κεφ. ϛ'. τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ ἕτερόν φησι, καὶ διὰ τοῦτο τὸ μυριοστημόριον λανθάνει τῆς κέγχρου ὁρώμενον, καίτοι ἡ ὄψις ἐπελήλυθε. καὶ κατωτέρω τὰ αἰσθητὰ ἐνεργείᾳ ἤδη ὑπάρχοντα, δυνάμει τίθησι διαιρετὰ ἐπ' ἄπειρον, καίτοι πρῶτον ἐστὶν ἐνεργείᾳ αἰσθητὸν, καθ' ὃ τὸ αἰσθάνεσθαι ἤρξατο, τοιγαροῦν πᾶσα αἰσθητὴ κίνησις καθ' ἣν ἤρξατο κινεῖσθαι, τὸ κινούμενον ἐνεργείᾳ μὲν ἐλαχίστη ἐστὶ, δυνάμει δὲ ἐπ' ἄπειρον διαιρετή. οὐ μὴν ἐντεῦθεν ἐπιφέρει τις, ὅτι συγκείσεται τὸ αἰσθητὸν οὐκ ἐξ αἰσθητῶν, ὥσπερ γὰρ ἐπὶ τῆς ὁρωμένης εἴρηται κέγχρου, τὸ μυριοστημόριον λανθάνει, καίτοι ἡ ὄψις ἐπελήλυθεν. εἰ δὲ ἐπελήλυθεν. αἰσθητὸν ἄρα, τοιγαροῦν ἐπὶ τῆς κινήσεως ἔστι τί πρῶτον κατὰ τὴν αἴσθησιν, πρῶτον δὲ τῷ λόγῳ ἐνεργείᾳ τίθεσθαι ἀδύνατον. ὥστε καὶ τὸ πρῶτον καθ' ὃ κατὰ τὴν αἴσθησιν ἄρχεται ἡ κίνησις πρότερον ἔχει τῇ δυνάμει, καὶ τῷ λόγῳ, ἐξ ὧν ἁπάντων ὀρθῶς συμπεραίνομεν ἐξ ἀνάγκης πᾶσαν κίνησιν εἶναι συνεχῆ καὶ δυνάμει διαιρετὴν ἐπ' ἄπειρον καθὸ μεταβολή ἐστιν ἐν ἄλλῳ ἢ ἄλλο, καὶ ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον, καὶ καθὸ δυνάμει διαιρετή ἐστιν. ἵνα δὲ καὶ τοῦτο δῆλον γένηται πῶς ἔχει πρὸς τὴν κίνησιν ἡ συνέχεια, ῥητέον ὅτι γενική τις ἐστὶ τῆς κινήσεως διαφορά. ὅθεν καὶ τῷ Φιλοσόφῳ λέλεκται τῶν συνεχῶν εἶναι. καὶ πέμπτῳ τῶν μετὰ τὰ Φυσικὰ εἰς τὸ συνεχὲς ὑπάγεται ποσόν. τούτων οὖν οὕτως περὶ τῆς κινήσεως διευκρινηθέντων ἐπὶ τὴν αὔξησιν ἐπανέλθωμεν, ἥτις καθ' ἑαυτὴν μὲν θεωρουμένη ὡς εἰς τὸ ποσὸν κίνησις ἅμα μὲν κατὰ τὴν αἴσθησιν ἐν-

δέχε

ΙΩΑΝΝΙΝΑ 2006

δέχεται ποτὲ γίνεσθαι ὡς καὶ τῷ Φιλοσόφῳ δέδεικται. ἔστι δὲ ἀεὶ τῷ λόγῳ διαιρετή, καὶ ἔστιν ἐν αὐτῇ τὸ πρότερον καὶ ὕστερον διαστεῖλαι τῷ λόγῳ καὶ τῇ δυνάμει, καὶ τοῦτο ἀπόχρη ὡς ἔοικεν ἐπὶ τὴν συνέχειαν αὐτῆς; ἔστι γὰρ καὶ ἐν τοῖς φύσει συνεστῶσιν ἀδιαίρετα τῇ ἐνεργείᾳ δι-ρεῖν καὶ μὴ δυνάμενα ποτὲ ἐλάσσω γίνεσθαι; οὐ μέντοι μὴ συνεχῆ ταῦτα φαμέν, ὡς ἀρκούσης εἰς τὴν τούτων συνέχειαν τῆς κατὰ λόγον καὶ δύναμιν διαιρέσεως. μετὰ δὲ τῶν συναυτῇ κινήσεων λαμβανομένη ἡ αὔξησις δήλη ἐστίν, ὡς ἐν χρόνῳ τε γίγνεται πλείονι καὶ διαιρετή ἐστιν. ἐπιλυσώμεθα δὲ τὰ νῦν καὶ τοὺς ἀντιφερομένους λόγους. ἡ γὰρ τῶν δογμάτων κατασκευὴ ὥς φησιν Ἀλέξανδρος διὰ τὴν πρὸς τοὺς μὴ ὁμοίως λέγοντας ἀντιλογίαν γίγνεται φανερά. πρῶτον μὲν οὖν ἀπαντῶμεν πρὸς τοὺς ἀναιροῦντας τὴν συνέχειαν τῆς κινήσεως λόγους, ἡ γὰρ σκέψις τοῦ γένους τῆς κατ᾽ εἶδος ἡγεῖται, ἐλέγετο τοίνυν ὅτι ἐπειδὴ ἐλάχιστά εἰσι κατὰ μέγεθος, ἀνάγκη καὶ τὴν κίνησιν διὰ τῶν ἐλαχίστων τόπων καὶ ἀδιαιρέτων γίγνεσθαι, ὥστε μὴ συνεχῆ εἶναι, τοῦτο γὰρ εἰς ἀεὶ διαιρετὰ πέφυκε διαιρεῖσθαι, ἢ δίδοται μὲν ἐλάχιστον ἐνεργείᾳ, καὶ κατὰ τὴν αἴσθησιν, οὐ μὴν δὲ τῷ λόγῳ καὶ τῇ δυνάμει, τὸ δὲ ἐνεργείᾳ ἐλάχιστον δυνάμει διαιρετὸν εἶναι, μηδὲν ἐμποδών ἐστιν, ἢ ὅτι καίτοι μὴ δίδοται τοῦ κατὰ τὸ εἶδος ἐλαχίστου ἔλαττον καθ᾽ ἑαυτὸ ὑφεστηκός, ὑπάρχει ὅμως τῇ τοῦ ποιοῦντος σωζομένου παρουσίᾳ, καὶ ἐν τῷ γίγνεσθαι, ὃ δέ φασιν ὅτι τὰ κατ᾽ οὐσίαν εἴδη οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ οὐκ ἔστιν ἐν τῇ ἀντιφάσει μέσον ἐπιλέλυται πολλαχοῦ, μάλιστα δὲ ἐν οἷς δέδεικται ὅτι τὰ τέλεια τῶν ἐνύλων εἰδῶν ἐπιδέχονται τὸ μᾶλλον καὶ ἧττον, ἐντεῦθεν δὲ καὶ τὴν τοῦ Σιμπλικίου ἀπορίαν ῥᾳδίως ἄν τις ἐπιλύσαιτο, ζητεῖ γὰρ ἐν τῷ ἕκτῳ τῶν Φυσικῶν, μορίῳ δ΄. καὶ η. καὶ ξθ΄. πότε ἄρα τέθνηκεν οἷον ὁ Σωκράτης, οὐ μὲν γὰρ μετὰ τὴν ἐκ τοῦ σώματος τῆς ψυχῆς ἐκδημίαν ὅτι τηνικαῦτα λέγεται τεθνηκὼς ἤδη, ἀλλ᾽ οὐδὲ πρὸ τῆς ἐκδημίας, ἔζη γὰρ ἔτι. ᾧ λόγῳ πειθόμενος ὁ Πλάτων οὔτε τοῖς ζῶσιν, οὔτε τοῖς νεκροῖς προσνέμει τὸν θάνατον. ἀλλ᾽ οὐδενὸς ὄντος ἔοικε περιπεφρονηκέναι, λέγομεν οὖν ἐν τῷ συνδέσμῳ τοῦτο εἶναι καὶ μὴ εἶναι τεθνηκέναι. καὶ ἵν᾽ αὖ μᾶλλον δῆλον γένηται τὸ προτεθὲν σόφισμα, δεῖ εἰδέναι· πότερον ζητεῖται ὅτε ὁ Σωκράτης ἀποθνήσκει, ἢ ὅτε τέθνηκεν ἤδη. ἀποθνήσκει γὰρ φαμὲν ἐν ἀγωνίᾳ γινόμενον, καίτοι πνέοντα ἔτι, τεθνηκέναι δὲ ἤδη ἐν τῷ ἀκαρεῖ, καθὸ μεταβέβληκεν ἐκ τῆς ζωῆς εἰς τὸν θάνατον. τὸ γὰρ μεταβεβληκέναι ἀεὶ ἐν τῷ νῦν ἐστιν, ὃ καὶ πέρας λέγεται τῆς μεταβολῆς, καὶ πρῶτον νῦν ἐν ᾧ τὸ μὴ εἶναι ἄρχεται, ἵνα δὲ καὶ πρὸς τὰς λοιπὰς ἀντιθέσεις ἀπαντήσωμεν, δοθέντος ἔτι γίγνεσθαι τὴν αὔξησιν διὰ Φυσικῶν ἐλαχίστων, οὐκ ἄτοπον ἐν τού-



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῷ νῷ περιληπτὸν εἶναι, τοῦ ἐλαχίστου ἔλαττον εἰς ὃ δυνάμει διαιρετόν ἐστι τὸ ἐλάχιστον ἢ ποσόν, καὶ γὰρ ἐν τοῖς ποσοῖς ἀδύνατόν ἐστιν εὑρεῖν ἐλάχιστον ἀδιαίρετον. εἰ δὲ τὸ τοῦ ἐλαχίστου ἔλαττον οὐ χωριστόν ἐστιν ἐνεργείᾳ διὰ τὸ ἐν αὐτῷ εἶδος σῶζον ἀεὶ τὸν τῆς σμικρότητος ὅρον, τοῦτο οὐκ ἐμποδών ἐστι πρὸς τὴν τῆς κινήσεως συνέχειαν. αὕτη γὰρ περὶ τὸ ποσὸν ἀεὶ θεωρεῖται. ὃ δὲ ἐλέγετο ὅτι μεταξὺ ἀντιφάσεως οὐκ ἔστι μέσον, ἀληθὲς μὲν, ἀλλ' οὐ καθόλου καὶ κατὰ πᾶσαν ἔννοιαν, ὥστε καὶ τὰ ὑποκείμενα πράγματα ἐν ἀδιαιρέτῳ τὸ εἶναι ἔχειν. τὸ γὰρ πῦρ καὶ μὴ πῦρ μέσον οὐκ ἴσχει ὡς ὅροι θεωρούμενα ἐκ διαμέτρου ἀντίθετοι. εἰ δέ τις ἐπισκοπήσει, τότε γίνεσθαι πῦρ ἀρχόμενον, καὶ τὸ γεγονὸς ἤδη τελείως πολὺ τὸ μέσον εὑρήσει. οὐκ ἀδιαιρέτου ὄντος τοῦ εἴδους τοῦ πυρός. ἀλλ' ἐπιδεχομένου τὸ μᾶλλον καὶ ἧττον, καὶ διὰ κινήσεως προσγινομένου τῷ πάσχοντι, καὶ ταῦτα μὲν εἰς λύσιν ἀρκεῖ τῶν ἀντιπιπτόντων τῇ τῆς γενέσεως συνεχείᾳ. περὶ δὲ τῆς αὐξήσεως ἰδίως εἴπωμεν, ὅτι οὐδὲ ταύτῃ μάχεται ἡ συνέχεια, ὅ,τε γὰρ πρὸς ὃν ὅρος ποσόν ἐστι, καὶ ὅσα τῇ αὐξήσει συνῆπται φανερῶς συνεχῆ εἰσι, τήν τε γὰρ κατὰ τόπον μεταβολὴν τὴν τῇ αὐξήσει συνεπομένην, καὶ τὴν ἡγουμένην αὐτῆς ἀλλοίωσιν, τίς ἂν μὴ συνεχῆ φαίη; ἔτι δὲ καὶ περὶ γενέσεως εἴρηται, ὅτι ὡς ἐπὶ τὸ πολὺ συνεχής ἐστι. θεωρεῖται δὲ μόνον ὡς ἀδιαίρετος ἐν τῷ μεταβεβληκέναι, καὶ κατὰ τὸ πέρας. τοῦτο δὲ κοινὸν πάσης μεταβολῆς ἄτμητον ἐχούσης ἀεὶ τὸ πέρας. ὅθεν ῥᾳδίως ἄν τις ἐπιλύσοι καὶ τὴν φαινομένην ἐν τῷ Φιλοσόφῳ ἀντίθεσιν. ὀγδόῳ γὰρ Φυσικῶν, μορίῳ κγ΄. μὴ συνεχῆ φησι τὴν αὔξησιν καὶ τὰς λοιπὰς κινήσεις κατὰ τὸ πέρας, ὅτι ἐνδέχεται μεσολαβεῖν ἠρέμησιν. ὃ καὶ φανερὸν ἀπὸ τοῦ δηλωθέντος ἀνωτέρω σκοποῦ. ζητοῦσι δέ τινες ἐνταῦθα πότερον ἐνδέχεται γίνεσθαι ἐν ἀκαρεῖ μεταβολήν; τοῦτο γὰρ ἐγκρίνειν ὁ Φιλόσοφος ἔδοξεν ὀγδόῳ Φυσικῶν, μορίῳ κγ΄. καὶ δευτέρῳ περὶ ψυχῆς, μορίῳ ι. ἀλλὰ Σιμπλίκιος καὶ Ἀλέξανδρος καὶ Θεόφραστος τὴν ἐναντίαν δόξαν πρεσβεύουσι, καὶ ταύτην οἴονται τοῦ Φιλοσόφου· ἐν πάσῃ γὰρ μεταβολῇ κοινῶς ἀποδεδεῖχθαι φασὶ πρὸ τοῦ μεταβεβληκέναι τὸ μεταβάλλειν εἶναι, καὶ πρὸ τοῦ μεταβάλλειν τὸ μεταβεβληκέναι, τὴν δὲ τοῦ Φιλοσόφου λέξιν καθ' ἣν ἀποδέχεσθαι φαίνεται τὴν ἀκαριαίαν μεταβολὴν ἐπὶ τῶν μερῶν ἑρμηνεύουσι τοῦ κινουμένου, ἅτινα ἐνδέχεται ἅμα πλείω καὶ μὴ κατὰ διαδοχὴν μεταβάλλειν, εἰ δέ τις καὶ ἐπὶ τὴν κίνησιν ταῦτα λελέχθαι τῷ Φιλοσόφῳ διϊσχυρίζοιτο ἀληθεύσειεν ἂν κατὰ τὸ πέρας θεωρῶν τὴν κίνησιν ἀναρμόστως, οὐ μήν γε καθ' ὃν τρόπον ἡ κίνησις ὁδός ἐστιν εἰς τὸν πρὸς ὃν ὅρον. κεφαλαιωδῶς οὖν ταῦτα κείσθω εἰς ῥᾳστέραν ἐπίλυσιν τῶν ἀντιφερομένων. Πρῶτον ὅτι ἡ γένεσις ἐν χρόνῳ ἐστὶν καθ' ὁδὸν ἵν' οὕτως εἴπω

θεω-

ΙΩΑΝΝΙΝΑ 2006

θεωρουμένη. Δεύτερον ὅτι τοῦ ἐλαχίστου δίδοται ἔλαττον, καίτοι μὴ χωριστὸν ἐνεργείᾳ. Τρίτον ὅτι μάχεται μὲν τῇ τοῦ εἴδους ὑπάρξει τὸ τοῦ ἐλαχίστου ἔλαττον, οὐ μήν γε τῇ τοῦ ποσοῦ πρὸς ὅ ἐστιν αὔξησις, καὶ ταῦτα μὲν ἀποχρώντως εἰρήσθω περὶ τοῦ προτεθέντος ζητήματος.

## Περὶ τοῦ πῶς ἡ αὔξησις γίγνεται.

Ἀσαφής ἐστιν ὁ τῆς αὐξήσεως τρόπος, διὸ πλείους περὶ αὐτὴν λόγους οἱ πάλαι ποιοῦσιν, ὅ,τε γὰρ Φιλόσοφος ἐν τρισὶ τόποις ὡς εἴρηται διὰ μακρῶν τὴν περὶ αὐτῆς διάσκεψιν προβάλλεται, καὶ Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς ἐν τῷ περὶ μίξεως πρὸς τῷ τέλει, καὶ Γαληνὸς ἐν τῷ περὶ Φυσικῶν δυνάμεων, ἀφ' ὧν καὶ ἡμεῖς τὰ πλείω πορισόμεθα, ἐκεῖνο δὲ προϋποκείσθω ὅτι περὶ τῆς αὐξήσεως τῶν ζώντων ὁ λόγος, ταύτης γὰρ διασαφηθείσης εὐξύνετος ἔσται καὶ ἡ τῶν ἀψύχων αὔξησις, ἔοικε τοιγαροῦν ἵν' ἄνωθεν ἀναλαβόντες εἴπωμεν λειμῶνι τὸ ἔμψυχον σῶμα καθάπερ ἐκεῖνος τοῖς ὀχετοῖς, οὕτως αὐτὸ φλεψὶ καὶ ἀρτηρίαις καταρδευόμενον, πηγὴ γὰρ αἵματος οὖσα ἡ καρδία ἅτε δὴ τῆς ἐμφύτου θερμότητος ἑστία τῷ ἐν αὐτῇ τελειωθέντι αἵματι πάντα τὰ τοῦ ζώου μέρη τρέφει καὶ ζωογονεῖ, ἐν δὲ τῇ διανομῇ τῆς δὲ τῆς τροφῆς ταῖς οἰκείαις ἡ ψυχὴ χρωμένη δυνάμεσιν ὑπηρετεῖ τῇ τοῦ ὅλου σωτηρίᾳ. αὗται δὲ τέσσαρές εἰσιν ὡς οἱ ἰατρῶν παῖδες ὑπομιμνήσκουσι. ἑλκυστική, συνεκτική, πεπτική, καὶ ἐξωθητικὴ λεγόμεναι, καὶ γὰρ εἰ καὶ Ἀβερρόης πέμπτην δύναμιν τὴν διακριτικὴν τίθεται, ταύτῃ λέγων τὴν ψυχὴν τοῦ περιττοῦ τὸ χρήσιμον ἀποκρίνειν. ἀλλ' ὅμως ἀρκοῦσιν αἱ ῥηθεῖσαι τέσσαρες, δι' ὧν πρῶτον μὲν ἕλκουσι πρὸς ἑαυτὰ τὴν τροφὴν τὰ μέρη, εἶτα συνέχουσιν αὐτὴν ὅπως αὖ εἰς τὸ ὅμοιον μεταβάλλοι διὰ τοῦ θερμοῦ, ἡ δὲ μεταβάλλουσα δύναμις πεπτικὴ λέγεται, καὶ ὁμοιωτική, ἐν μὲν τῷ στομάχῳ ὡς μὴ πάντως ὁμοιοῦσα τοῖς μέρεσι τοῦ ζῶντος τὰ ἐσθιόμενα πεπτικὴ μόνον ὀνομαζομένη, ὁμοιωτικὴ δὲ ἔνθα τὸ προσγινόμενον αἷμα εἰς σάρκα, ἢ ὀστοῦν, ἢ νεῦρον μεταποιεῖ, αὕτη δὲ ἡ δύναμις περαιωθεῖσα ἕπεται ἡ ἐξωθητική, τὸ περιττὸν ἀποβάλλουσα, τοιγαροῦν οἷς τὸ μὲν χρήσιμον ἕλκεται, τὸ δὲ περιττὸν ἀπωθεῖται ἡ διάκρισις ἀποχρώντως τελεῖται. προσελθοῦσα δὲ ἡ προσεχὴς τροφὴ τοῖς μέρεσιν οὐκ αὐτίκα δὴ τότε εἰς αὐτὰ μεταβάλλει, ἀλλὰ διὰ τῶν ἐν αὐτοῖς πόρων εἰσδύσα κατὰ σμικρὸν ὁμοιοῦται, καὶ οἷά τις δρόσος ὁπωσοῦν ἐλαχίστῳ περιχεῖται μορίῳ, τότε δὴ τότε καθάφησιν ὁ Φιλόσοφος μίγνυται οἷς προσετέθη μέρεσι, καὶ ἐν αὐτοῖς γίγνεται τῷ εἴδει ταὐτόν, ὥστε μεῖζον γενέσθαι τὸ ὅλον, καὶ ἅμα πλείω τόπον ἐπιλαβεῖν, φανερὸν οὖν ἐκ τῶν